## X

τέσσαρες οἱ πίνοντες· ἐρωμένη ἔρχεθ' ἑκάστῳ.
ὀκτὼ γινομένοις Χῖον ἓν οὐχ ἱκανόν.
παιδάριον, βαδίσας πρὸς Ἀρίστιον εἰπὲ τὸ πρῶτον
ἡμιδεὲς πέμψαι, χοῦς γὰρ ἄπεισι δύο
ἀσφαλέως, οἶμαι δ' ὅτι καὶ πλέον. ἀλλὰ τρόχαζε,
ὥρας γὰρ πέμπτης πάντες ἀθροιζόμεθα.

## XI

Ἑλλήνων σωτῆρα, Φάρου σκοπόν, ὦ ἄνα Πρωτεῦ,
Σώστρατος ἔστησεν Δεξιφάνου[ς] Κνίδιος·
οὐ γὰρ ἐν Αἰγύπτῳ σκοπαὶ οὔρεά θ' οἷ' ἐπὶ νήσων,
ἀλλὰ χαμαιζήλη ναύλοχος ἐκτέταται.
τοῦ χάριν εὐθεῖάν τε καὶ ὄρθιον αἰθέρα τέμνων
πύργος ὅδ' ἀπλάτων φαίνετ' ἀπὸ σταδίων
ἤματι, παννύχιος δὲ θ[έ]ω[ν] σ[ὺ]ν κύματι ναύτης
ὄψεται ἐκ κορυφῆς πῦρ μέγα καιόμενον,
καί κεν ἐπ' αὐτὸ δράμοι Ταύρου κέρας, οὐδ' ἂν ἁμάρτοι
σωτῆρος, Πρωτεῦ, Ζηνὸς [ὁ] τῇδε πλέων.

## XII

μέσσον ἐγὼ Φαρίης ἀκτῆς στόματός τε Κανώπου
ἐν περιφαινομένῳ κύματι χῶρον ἔχω,
τήνδε πολυρρήνου Λιβύης ἀνεμώδεα χηλήν,
τὴν ἀνατεινομένην εἰς Ἰταλὸν ζέφυρον,